*διαφαίνεται γαλήνας.*
*†ὑπεράργύρωι† δ᾽ ὀχοῦνται*
*ἐπὶ δελφῖσι χορευταῖς*
*δολερὸν νόον μετοίσων*
*Ἔρος Ἵμερος γελῶν τε,*
*χορὸς ἰχθύων τε κυρτός*
*ἐπὶ κυμάτων κυβιστᾶι*
*Παφίης τε σῶμα παίζει*
*ἵνα νήχεται γελῶσα.*

58 (56 B.)

*Ὁ δραπέτας ὁ Χρυσός*
*ὅταν με φεύγηι κραιπνοῖς*
*διηνέμοις τε ταρσοῖς*
*(ἀεὶ δ᾽, ἀεί με φεύγει),*
*οὔ μιν διώκω· τίς γάρ*
*μισοῦν θέλει τι θηρᾶν;*
*ἐγὼ δ᾽ ἄφαρ λιασθείς*
*τῶι δραπέται τῶι Χρυσῶι*
*ἐμῶν φρενῶν μὲν αὔραις*
*φέρειν ἔδωκα λύπας,*
*λύρην δ᾽ ἑλὼν ἀείδω*
*ἐρωτικὰς ἀοιδάς.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408079479/51 UNIVERSITÄT LEIPZIG